819. Φήμη] Vox divina, sine ullo interprete, aut propheta, verum prænuncians. Vide Virg. Æneid. III. v. 93. Statius Theb. V. 646. *Voxque ex adytis accepta profundis.* Confer et Senec. Thyest. 679. *Musg.*

821. Χρηστήριον μὲν τοὔνομ'·] Θεονόη, quasi τὰ περὶ Θεοῦ νοοῦσαν ἐτυμολογεῖ. Idem fere supra v. 13. Καλοῦσιν αὐτὴν Θεονόην, τὰ Θεῖα γὰρ, Τά τ' ὄντα, καὶ μέλλοντα, πάντ' ἠπίστατο. *Barnes.*

822. οἶδ',] Ed. Ald. εἶδ'. *Musg.*

Πάντ' οἶδ',] *Omnia novit.* Alii legunt εἶδ' hoc est, *vidit;* sed nostra lectio verior videtur, quia exprimit illud ἠπίστατο melius, quod in præcedenti notula de illa dictum protulimus ex poëta. *Barnes.*

824. Forte, εἰ μή γ' ἂν ἀνασ. *Reisk.*

826. Παρόντα γαίᾳ] Ἐν τῇδε τῇ γῇ παρόντα. *Barnes.*

827. διορίσαιμεν] Vid. supra v. 393. et quæ citavi ad Med. v. 433. *Musg.*

διορίσαιμεν] De hac verbi διορίζω significatione vid. quæ nos supra ad v. 393. *Barnes.*

828. Κοινῇ τ'] Omnino legendum κοινῇ γ', et sic vir doctus in margine Aldinæ apud me. *Musg.*

ΜΕ. Σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
ʽΕΛ. ʽΩς οὐκ ἄχραντα γόνατ' ἐμῶν ἕξει χερῶν.
ΜΕ. Φέρ', ἢν δὲ δὴ νῷν μὴ 'νδέξηται λόγους;
ʽΕΛ. Θανεῖ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.
ΜΕ. Προδότις ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις.
ʽΕΛ. 'Αλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα.
ΜΕ. Τί φής; θανεῖσθαι, κοὔποτ' ἀλλάξειν λέχη;
ʽΕΛ. Ταυτῷ ξίφει γε· κείσομαι δέ σου πέλας.
ΜΕ. 'Επὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.

Men. Tuum *est hoc* munus, quia mulier conveniens *est* mulieri.
Hel. Non habebit genua intacta a meis manibus.
Men. Age: sed si nostram orationem non receperit?
Hel. Morieris, et ego misera per vim illi nubam.
Men. Proditrix es: vim nempe prætexis.
Hel. At juro sanctum jusjurandum per tuum caput.
Men. Quid ais? te morituram esse, et non mutaturam connubium?
Hel. Eodem gladio, et jacebo juxta te.
Men. Tange meam dextram ad hæc nunc confirmanda.

833. τήνδε β. 837. ἐμᾶς.

Κοινῇ γ' ἐκείνῃ scribit Reisk. *Beck.*

829. γυνή.] Ed. Ald. et MSS. γύναι. Sed recte emendavit H. Steph. Vide, ipso citante, Plut. Op. Mor. p. 89. Ed. Steph. *Musg.*

Σὸν ἔργον· ὡς γυναικὶ πρόσφορον γυνή.] Cum olim legebatur: Σὸν ἔργον ὡς γυναικὶ πρόσφορον, γύναι, Henricus Stephanus ad hanc, quam præferimus, formam redegit, hæc dicens: "*Non dubium est, quin pro* vocativo γύναι *reponendus sit* nominativus γυνὴ, *et interpungi debeat post* σὸν ἔργον. *Quod si quis illi emendationi assentiri recusat, at certe assentiri illum coget* Plutarchus *in libello de discernendo Adulatore ab Amico. Ibi enim postquam* dixit: 'Αρχὴν δὲ φιλίας ἔφαμεν εἶναι τοῖς πλείστοις, τὴν ταὐτὰ μὲν ἐπαινοῦσαν, ἀσπαζομένην ἤθη καὶ ἔθη, τοῖς δὲ αὐτοῖς χαίρουσαν ἐπιτηδεύμασι, καὶ πράγμασι, καὶ διατριβαῖς, ὁμοιοπαθῆ διάθεσίν τε καὶ φύσιν, *subjungit:* ἐφ' οἷς καὶ ταῦτα εἴρηται· Γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει, Παῖς παιδί· καὶ γυναικὶ πρόσφορον γυνή· Νοσῶν τ' ἀνὴρ νοσοῦντι· καὶ δυσπραξίᾳ Ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ. *Quo ex loco discimus, etiam* Euripidem *verba illa,* γυναικὶ πρόσφορον γυνὴ, *ex proverbiali versu sumsisse. Pertinent autem hi versus a* Plutarcho *citati ad proverbium, quo dicitur* simile gaudere simili." Hæc ille. Nec tamen tam constat, Euripidem hæc sumsisse ex proverbiali versu, quam probabile est, illum proverbialem versum ex illo mutuatum. Huic loco affine est illud Terentii: *mulier mulieri magis congruum.* Vid. Erasmum in Adagio: Simile simili gaudet, etc. *Barnes.*

830. ʽΩς οὐκ ἄχραντα γόνατ' ἐμῶν ἕξει χερῶν.] Ἄχραντος proprie *non tinctus,* hic pro intactus, ut sæpe apud hunc poëtam, χραύζω pro ἅπτομαι. Sic Phœniss. v. 1641. Σοί τ' εὖ λέλεικται, γόνατα μὴ χραύζειν ἐμά. Et Medea: Καὶ τῶνδε γονάτων ὡς μάτην κεχρώσμεθα. Significat insuper, *inquino,* contamino, coloro, idem, quod χροΐζω. *Barnes.*

833. Προδότις] Ita recte Barnesius, auctore Scaligero. Ed. Ald. προδότης. Idem optime τὴν βίαν pro τήνδε βίαν.

Προδότις] Ita cum Scaligero et Æmilio Porto lego, pro προδότης, interpungo etiam ad εἴης· Particulam vero δὲ post

ʽΕΛ. Ψαύω, θανόντος σου, τόδ' ἐκλείψειν φάος.
ΜΕ. Κἀγὼ στερηθείς σου τελευτήσω βίον.
ʽΕΛ. Πῶς οὖν θανούμεθ', ὥστε καὶ δόξαν λαβεῖν;
ΜΕ. Τύμβου 'πὶ νώτῳ σε κτανὼν, ἐμὲ κτενῶ.
Πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα
Λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων, ἴτω πέλας·
Τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος,
Οὐδ' ʽΕλλάδ' ἐλθὼν λήψομαι πολὺν ψόγον,
Ὅστις Θέτιν μὲν ἐστέρησ' Ἀχιλλέως,

Hel. Attingo *jurans*, te mortuo, me relicturam hanc lucem.
Men. Et ego orbatus te, vitam finiturum.
Hel. Quomodo autem moriemur, ut gloriam consequamur?
Men. Sepulcri supra dorsum te cæsa, me cædam.
Sed priùs decertabimus magno certamine
Pro tuo lecto; qui vero vult, prope accedat:
Trojanam enim gloriam non dedecorabo,
Nec *in* Græciam reversus, multam vituperationem audiam,
Qui Thetidem quidem privavi Achille,

841. ἐμὲ κτανῶ.

τὴν penitus delendam duxi; otiosa enim est et versui damnosa. *Barnes.*

Reisk. conjicit: τὴν δὲ βίαν σκῆψις ἔχοις, *haberes autem violentiam prætextus*, i. e. *utereris loco prætextus*. *Beck.*

834. Ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα.] Veterum mos, jurare per caput alicujus dilecti, aut honorati viri, inde, ut putatur, ortus, quod ea hominis pars priscis sancta sit habita; uti supra observavimus Heraclid. v. 540. ubi de hoc juramento. *Barnes.*

837. τοίνυν] Canteri emendatio est. Ed. Ald. τοῖς νῦν. Formula ἐπὶ τοῖσδε exstat Alcest. v. 385. *Musg.*

Ἐπὶ τοῖσδε τοῖς νῦν] Canterus et Scaliger legunt τοίνυν: sufficit enim τοῖσδε pro τούτοις sine τοῖς: sic Aristophanes: ἐπὶ τούτοις λάμβανε, *hac conditione accipe.* Sic dixit poëta, Alcest. v. 385. Ἐπὶ τοῖσδε παῖδας χειρὸς ἐξ ἐμῆς δέχου. *Barnes.*

839. τελευτήσω] Legendum puto τελευτήσειν, ut ἐκλείψειν.

Lucianus de dea Syria: βοὴ πολλάκις ἐγένετο ἐν τῷ ναῷ, κλεισθέντος τοῦ ἱεροῦ. *Musg.*

841. Pro κτανῶ Tyrwhittus κτενῶ conferens v. 981. et seq. *Musg.*

Jam Heath. idem monuerat.

Sequitur Prev. Tyrwhitti conjecturam, atque vertit: "Je t'immolerai sur ce tombeau, et je me frapperai du même fer." *Beck.*

844. κλέος,] Scaligeri emendatio est. Ed. Ald. λέχος. *Musg.*

Τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος,] Ita recte Scaliger κλέος legebat pro λέχος, quod nihil hic loci habuit; quare rejicio illud penitus, et genuinum κλέος restituo; quod sane fecissem, si nemo unquam admonuisset. Adeo evidens mihi res hæc videtur; nec dubito, quin et aliis videbitur. Quanquam et ad λέχος sensum quendam non usquequaque ineptum excogitarunt nonnulli, quasi conjugium suum, hoc est λέχος, ideo Τρωϊκὸν, Trojanum, vocaret, quod illius resarciendi caussa tot annis ad Trojam laborasset. Sed an hoc non sit nimis longe petitum, judicent, qui nasum habent. *Barnes.*

Τελαμωνίου δ' Αἴαντος εἰσεῖδον σφαγὰς,
Τὸν Θησέως τε παῖδα· διὰ δὲ τὴν ἐμὴν
Οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ' ἐγώ;
Μάλιστά γ'· εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοὶ,
Εὔψυχον ἄνδρα, πολεμίων θανόνθ' ὕπο,
Κούφῃ καταμπίσχουσιν ἐν τύμβῳ χθονὶ,
Κακοὺς δ' ὑφ' ἕρμα στερεὸν ἐκβάλλουσι γῆς.
Ὦ θεοὶ, γενέσθω δή ποτ' εὐτυχὲς γένος
Τὸ Ταντάλειον, καὶ μεταστήτω κακῶν.
ΕΛ. Οἴ 'γὼ τάλαινα· τῆς τύχης γὰρ ὧδ' ἔχω·
Μενέλαε, διαπεπράγμεθ'· ἐκβαίνει δόμων
Ἡ θεσπιῳδὸς Θεονόη. κτυπεῖ δόμος,
Κλῄθρων λυθέντων· φεῦγ'. ἀτὰρ τί φευκτέον;
Ἀποῦσα γάρ σε καὶ παροῦσ' ἀφιγμένον
Δεῦρ' οἶδεν· ὦ δύστηνος, ὡς ἀπωλόμην.
Τροίας δὲ σωθεὶς κἀπὸ βαρβάρου χθονὸς,
Ἐς βάρβαρ' ἐλθὼν φάσγαν' αὖθις ἐμπεσεῖ.

Ajacis vero Telamonii cædem aspexi,
Et Theseo satum filio. Propter meam vero
Conjugem ego non ausim mori?
Maxime: nam si sunt dii sapientes,
Virum fortem interfectum ab inimicis
Circumtegunt levi terra in sepulcro:
In ignavos vero solidum aggerem terræ injiciunt.
O Dii, fiat tandem aliquando fortunatum genus
Tantaleum, et liberetur a malis.
Hel. Heu me miseram, sic enim se habet mea fortuna,
Menelaë, actum est de nobis: egreditur ex sedibus
Fatidica Theonoe: domus crepat,
Solutis repagulis: fuge. Sed quid fugiendum?
Absens enim, et præsens te venisse
Huc novit: O infelix, ut perii.
Servatus a Troja et barbarica terra
Veniens, in barbaricos gladios rursus incides.

848. Θησέως] Vere judicabat Brodæus, Antilochi mortem hic in animo habuisse poëtam. Quod reponebat, Νέστορος, nisi longius paullo a MSS. vestigiis recederet, facile omnium suffragia ferret. Rem fortasse levior mutatio expediat:

τὸν Νηλέως τε, παῖδα· διὰ δὲ —

i. e. τὸν Νηλέως τε, παῖδα ἐστέρησα. Non sine exemplo est, ultro citroque sic variari constructionem: vid. ad Orest. v. 506. et seq. *Musg.*

ARGUMENTUM ACTUS TERTII.

Progrediens in scenam Theonoë, cum lustrali flamma, Helenam alloquitur, deos jam tum de salute viri concilium habere significans. Helena et Menelaus miris suasionibus Theonoën sibi conciliare conantur. Quorum precibus facile pia virgo annuit. Menelaus et Helena deliberant, quomodo ipsi tuto evadant, et tyrannus falli possit. Chorus, hoc suorum periculo tactus, commemorationem orditur calamitatum, ex bello Trojano ortarum: cujus origo Paridis illa in Græciam navigatio et Helenæ raptus exstiterit.

ΘΕΟΝΟΗ.

'Ηγοῦ σύ μοι φέρουσα λαμπτήρων σέλας,

THEON.

Præi tu mihi, ferens facum splendens lumen,

Τὸν Θησέως τε παῖδα·] Subaudi τὴν ἐμὴν χάριν θανόντ' ἐσεῖδον. Legendum tamen videtur (inquit Johannes Brodæus) Νέστορος, non Θησέως. Acamas enim et Demophon, Thesei filii a bello Trojano salvi domum redierunt; ut in Heraclidis et Hecuba ipsemet confitetur Euripides. Et hæc vere observat Brodæus, quia Antilochus, Nestoris filius, occubuit in illo bello; Thesei autem filii revera supervixere. Sed hoc est pii poëtæ artificium, præter historiam aliquid in laudem suæ patriæ adjicere; quasi Achilles et Ajax et Thesei filii, Athenienses, essent omnium Græcorum longe optimi et fere soli. *Barnes.*

Pro Theseo Nestorem reposuit Prev. quia Thesei filii in obsidione Trojæ non perierunt. *Beck.*

Forte τὸν Θησέως τ' ἔθαψα, διὰ δ' ἐμήν. *Reisk.*

850. εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοί,] Argumenti vis: 'Αλλ' εἰσὶν οἱ Θεοὶ σοφοί, *Ergo molliter cubabunt viri fortes. Barnes.*

852. Κούφη καταμπίσχουσιν ἐν τύμβῳ χθονί,] Sic supra Alcest. v. 475. Κούφα σοι χθὼν ἐπάνω πέσοι, γύναι. Et Suidas: Κούφη γῆ τοῦτον καλύπτοι. Plura in hanc rem videsis apud Johann. Kirchmannum de Funerib. Romanor. Lib. III. c. 9. *Barnes.*

853. ὑφ'] Ita MSS. Steph. quorum auctoritati cur non obsequamur, nullam idoneam rationem video. Ed. Ald. ἐφ', unde Scaliger:

κακοῖς δ' ἐφ' ἕρμα στερεὸν ἐμβάλλουσι γῆς.

Pro κακοὺς — ἐκβάλλουσι, ut exhibent Ed. Ald. et MSS. *Musg.*

Κακοῖς δ' ἐφ' ἕρμα στερεὸν ἐμβάλλουσι γῆς.] Quod ad hæc verba attinet, sunt quidem, ut ego puto, fideliter restituta, ex Josephi Scaligeri auctoritate; cum prior lectio valde esset dubiis obnoxia: ita enim erat: Κακοὺς δ' ἐφ' ἕρμα στερεὸν ἐκβάλλουσι γῆς. Cui remedium non adhibet illud Henrici Stephani: "*In veteribus codicibus scriptum est ὑφ' ἕρμα.*" Scaligerianæ autem lectionis sensum apertissimum sic explices: ἐπὶ δὲ κακοῖς στερεὸν ἕρμα γῆς ἐμβάλλουσι. στερεὸν ἕρμα γῆς vel *magnum terræ pondus* sonat, vel *gravem* et prægrandem cippum, aut lapidem; ut Tibull. Lib. I. Eleg. 4. *Jam tua, qui Venerem docuisti vendere primus, Quisquis es, infelix urgeat Ossa Lapis!* Vid. de hac re Johann. Kirchmann. de Funerib. Roman. Lib. III. c. 9. *Barnes.*

Reisk. legit aut Κακοὺς δ' ἐπ', i. e. ἐμβάλλουσι ἐπὶ κακοὺς, *projiciunt super malos molem immobilem,* aut Κ. δ' ὑφ' — *sub molem. Beck.*

854. Choro tribuendum hoc distichon. *Musg.*

857. διαπεπράγμεθ'·] *Actum est de nobis. Barnes.*

863. Observat Pr. nullam caussam esse, cur actus secundi finis hic ponatur. Itaque tertii actus initium constituit, ubi vulgo quartus incipit. *Beck.*

864. Conf. Σχ. Pind. Pyth. III. 66. Heath. inter Fragm. incert. Eurip. 189. *Burn.*

Tradit Plutarchus, sacerdotes Ægyptios, ut aëra purum haurirent, summam curam adhibuisse; mane igitur surgentes resinam suffumigasse, sub meridiem vero, myrrham. De Iside et Osiride, pag. 682. Edit. Henr. Stephan. Hinc patet, Euripidem in egressu Theonoës

Θεῖον δὲ σέμνου θεσμὸν αἰθέρος μυχῶν,
Ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξώμεθα.
Σὺ δ' αὖ κέλευθον, εἴ τις ἔβλαψεν ποδὶ
Στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογί,
Κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω, πυρός.
Νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦσαι, πάλιν
Ἐφέστιον φλόγ' ἐς δόμους κομίζετε. —
Ἑλένη, τί τἀμὰ, πῶς ἔχει, θεσπίσματα;
Ἥκει πόσις σοι Μενέλεως ὅδ' ἐμφανὴς,
Νεῶν στερηθεὶς τοῦ τε σοῦ μιμήματος.

Sanctumque celebra ritum sinuum ætheris,
Ut spiritum purum cœlo accipiamus.
Tu vero viam, si quis *eam* læsit pede
Calcans impio, da lustrali flammæ;
Concutiasque Piceam facem ante me, ut transeam:
Rituque meo Diis peracto, iterum
Larariam flammam in sedes portate.
Helena, quid? quomodo se habent mea vaticinia?
Venit tuus maritus Menelaus, hic conspicuus,
Orbatus navibus, et tuo simulacro.

866. δεξαίμεθα.

depingendo ab historiæ fide non discessisse.

An huc pertinent faces circa Hecatēn: Apollon. Rhod. III. 1215. *Musg.*

865. Θεῖον δὲ σεμνοῦ θεσμὸν] Tentabat Reiskius: *θεῖόν τε, σεμνῶν θυσμὸν αἰθέρος μυχῶν, et sulphur, suffumigatorem recessuum venerandorum aëris.* Vocis θυσμὸς nullum, pro more, auctorem citat, nec inveniri posse puto. Sed neque θεῖον *sulphur* hic significaverit, quippe arctissime cum θεσμὸν connectendum, quater ita adhibente Juliano Orat. V. σεμνοῦν θεσμὸν debet esse *ritum aliquem solenniter et justa gravitate peragere.* Verbum σεμνοῦν exstat Herodot. III. 16. *Musg.*

Θεῖον δὲ σεμνοῦ θεσμὸν] Σεμνοῦ, mediæ vocis verbi σεμνόω, vel σέμνου, activæ, significat, adornare aliquid augustius. Scaliger et Duportus legunt Θεῖον σέβου δὲ θεσμὸν, non æque bene, ut mihi quidem videtur. *Barnes.*

Heath. etiam θεῖον accipit de sulphure, et ad genit. μυχῶν supplet ἐκ, aut, si hæc ellipsis durior videatur, versu præced. legi jubet: Ἡγοῦ σύ μοι 'κφέρουσα. *Beck.*

Θεῖον δὲ] Ἐπίθετον τοῦτο θεῖον δὲ. θεῖον λέγει, ᾧ καὶ Ὀδυσσεὺς παρ' Ὁμήρῳ χρώμενος θειοῦται μέγαρον (Od. ψ'. 50.) ἦν δὲ αὐτὸ καὶ σύμβολον αἰθέρος διὰ τὸ εὐέξαπτον. *Scholiast.*

867. Σὺ δ' αὖ κέλευθον,] *Si quis,* hoc est, *ne quis forte profanus,* aut *scelerosus, viam sacræ Virgini calcandam impiaverit, igne sacro sufflaminatam lustrari jubet.* Proclus: Καὶ τῷ πάντα καθαίροντι πυρὶ παρήγγειλεσαι χρῆσθαι, μὴ ἐξ ἀκαθάρτου οἰκίας ληφθέντι. *Barnes.*

869. πυρός.] Legendum cum Reiskio: πάρος, *Et tædam terræ ante me impinge.* *Musg.*

Κροῦσον δὲ πεύκην,] De Ægyptiorum hoc more suffitus odoratos faciendi, piceisque tædis utendi, vide Cœlium Rho-

Ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,
Οὐδ' οἶσθα νόστον οἴκαδ', εἴτ' αὐτοῦ μενεῖς·
Ἔρις γὰρ ἐν θεοῖς σύλλογός τε σοῦ πέρι
Ἔσται πάρεδρος Ζηνὶ τῷδ' ἐν ἤματι.
Ἥρα μὲν, ἣ σοι δυσμενὴς πάροιθεν ἦν,
Νῦν ἐστὶν εὔνους, κεὶς πάτραν σῶσαι θέλει
Ξὺν τῇδ', ἵν' Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους,
Δώρημα Κύπριδος, ψευδονυμφεύτους μάθῃ·
Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,
Ὡς μήτ' ἐλεγχθῇ, μηδὲ πριαμένη φανῇ

O miser, quibus laboribus vitatis, *huc* venisti,
Neque scis utrum sis domum reversurus, an vero hic mansurus.
Contentio enim inter deos, conciliumque de te
Stat convocatum hodie apud Jovem.
Juno quidem, quæ tibi hactenus inimica fuit,
Nunc est benevola, et vult te salvum ducere in patriam
Cum ista, ut Græcia nuptias Alexandri
Falsas cognoscat, donum Veneris.
Venus vero vult impedire tuum reditum,
Ne coarguatur, neque videatur emisse

digin. Antiq. Lection. Lib. XXIV. c. 22. *Barnes.*

Initio versus Reisk. legit: Κρεῦσόν τι. *Beck.*

870. τὸν ἐμὸν] An significat auctor, hos ritus a Theonoa inventos fuisse? *Musg.*

872. Distinguo:

Ἑλένη τί τἀμὰ, πῶς ἔχει, θεσπίσματα;

ut sit duplex interrogatio, plane, ut Cyclop. v. 121. *Musg.*

874. μιμήματος.] Ita MSS. Steph. Ed. Ald. MS. G. τιμήματος. Confer v. 73. *Musg.*

μιμήματος.] Recte Henr. Stephanus (cui inter multos bonos auctores plurimum debet Euripides) ex MSS. correxit τιμήματος in μιμήματος, ut dixit poëta supra v. 73. ὅσον μίμημ' ἔχεις Ἑλένης. *Barnes.*

875. οἵους] Ita MSS. Steph. Ed. Ald. οἴκους. *Musg.*

Ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους.] Pro corrupto οἴκους recte itidem restituit nunquam satis laudatus Henricus Stephanus, cum alii in οὐ τοὺς corrupissent, de qua re vide illius notas ad Euripidem et præfationem ad easdem notas. *Barnes.*

876. νόστον] Lego νοστῶν, *rediens. Non nosti, te domum redire, an hic mansurus sis. Musg.*

Reisk. scribit νοστοῖς, *an rediturus sis.* Si vulgata servetur, monet, subintelligi debere μένεις. *Beck.*

878. Ἔσται] Legendum, ni fallor: εἷται, *considet.* Vox est Homero frequentata, qui tamen εἵαται et εἵατο scribit. Noster Bacch. v. 38. ἀνορόφοις εἷνται πέτραις. *Musg.*

882. ψευδονυμφεύτους] Recte ita ex Aldina restituit Barnesius. Editiones aliæ ψευδονυμφεύτου. *Musg.*

ψευδονυμφεύτους] Ita vetus Aldina editio, quam cur quis in hac parte in ψευδονυμφεύτου mutaret, non video; potius enim ad γάμους referri debet, quam ad Κύπριδος. Γάμοι autem ψευδονύμφευτοι dicuntur nuptiæ falso dictæ, cum revera, ex mente hujus Fabulæ, Paris nihil unquam cum Helena commune habuerit. *Barnes.*

Τὸ κάλλος, Ἑλένης οὕνεκ', ἀνοήτοις γάμοις.
Τέλος δ' ἐφ' ἡμῖν, εἴθ', ἃ βούλεται Κύπρις,
Λέξασ' ἀδελφῷ σ' ἐνθάδ' ὄντα διολέσω,
Εἴτ' αὖ μεθ' Ἥρας στᾶσα σὸν σώσω βίον,
Κρύψασ' ὁμαίμον', ὅς με προστάσσει τάδε
Εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃς.
Τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ
Παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ;
ΕΛ. Ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πιτνῶ γόνυ,

Formæ *palmam*, Helenæ causa, inani connubio.
Summa vero *rei* penes me; sive, quod cupit Venus,
Perdam, te dicens fratri, quod hic sis:
Sive contra, cum Junone stans, servam vitam,
Celans fratrem illud, qui me jussit hoc
Significare *sibi*, quando *in* hunc agrum veneris.
Quis vadit fratri meo nunciaturus hujus
Adventum, ut *res* mea tuta sit?
Hel. O Virgo, cado supplex ad genua tua,

885. ὠνητοῖς γ. 887. ἀδελφῷ γ' ἐνθάδ'. 891. τίς εἶς; ἀδ. τ. σημανῶ γ' ἐμῷ.

884. πριαμένη — τὸ κάλλος,] *Emisse pulchritudinem*, i. e. palmam pulchritudinis. Sic εὐμορφίᾳ πραθεῖσα, Troad. v. 929. *Musg.*

885. ὠνητοῖς] Optime Piersonus ἀνοήτοις. Vere Paridi ἀνοήτοις, quod tota hæc Tragœdia docet, ne singula excitare opus sit. [cf. Orest. 1516.] *Musg.*

Reisk. censet, vitium non esse in ὠνητοῖς, sed in ὅνεκα, pro quo forte reponi possit καινῇ. *Beck.*

886. Τέλος δ' ἐφ' ἡμῖν,] Subaudi ἐστιν. *Barnes.*

887. Reisk. scribit: ἀδελφῷ σ' ἐνθάδ' ὄντα. *Beck.*

889. Reisk. conjicit: προστάσσει πάλαι. *Beck.*

890. ὅταν γῆν τήνδε νοστήσας τύχῃς.] Hic νοστήσας pro simplici ἐλθὼν, ut supra observavimus ad hujus Fabulæ v. 473. Vid. et Rhes. v. 424. ubi νόστος, reditus, simpliciter occurrit pro ἔλευσις, *adventus*, et νοστέω pro ἔρχομαι. Qui usus nec Homero ignotus, ut ibidem ostendi. *Barnes.*

891. Τίς εἶς; ἀδελφῷ τόνδε σημανῶ γ'— Ita Ed. Ald. quod Scaliger, recte mendosum judicans, sic emendandum conjiciebat:

τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ —

Quis vadit fratri meo nunciaturus hujus adventum? Verum sic si locuta est Theonoë, immitis et inhumani ingenii fuerit necesse est. Quamobrem non dubito, quin verius emendaverit Reiskius:

τί φῄς; ἀδελφῷ τόνδε σημανῶ γ' —

Quid ais? An fratri meo indicabo hujus adventum? *Musg.*

Τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ Παρόνθ',] Τίς εἶσι, τῷ ἀδελφῷ μου σημανῶν, τοῦτον, ἤγουν Μενέλεων, παρόντα; ὅπως ἐμοὶ μὴ ὀργίζηται ἀδελφὸς, τὸν ἐχθρὸν αὐτοῦ ἀποκρυπτούσῃ. Olim quum erat scriptum τίς εἶς; quis es? et σημανῶ γ', quo nihil in toto orbe frigidius; (quomodo enim illa, quæ probe omnia novit, et illum ut Menelaum jam diu esset allocuta, diceret tandem: *Quis es?* et continuo adderet, *ego illum*, quasi de tertia persona loqueretur, *fratri indicabo?*) solus divinus ille Jose-

Καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα
Ὑπέρ τ' ἐμαυτῆς τοῦδέ θ', ὃν, μόλις ποτὲ
Λαβοῦσ', ἐπ' ἀκμῆς εἰμὶ κατθανόντ' ἰδεῖν·
Μή μου κατείπῃς σῷ κασιγνήτῳ πόσιν
Τόνδ' εἰς ἐμὰς ἥκοντα φιλτάτας χέρας·
Σῶσον δὲ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ
Τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,
Χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.
Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ

Et sedeo prope te miseram sessionem,
Pro me ipsa, et isto, quem vix tandem
Nacta, in ipso articulo discriminis sim, ut videam eum mori.
Ne dicas tuo fratri, meum maritum
Hunc venisse in meas charissimas manus.
Serva vero *ipsum*, oro te supplex, fratri vero tuo
Pietatem tuam ne prodas unquam,
Gratiam malam injustamque *tibi* comparans.
Odit enim Deus vim. Partas vero *res*

phus Scaliger veram lectionem vidit et in margine suo notabat. Adeo mentis acumine præ cæteris valebat. Quare ita locus iste exponendus; Quum jam divina mulier dixit, sibi a fratre in mandatis datum, ut Menelai adventum, quando contigerit, illico nuntiaret, subito ad servitium conversa exclamat: *Quis igitur* vestrum *currit fratri meo nuntiaturus, hunc jam, Menelaum* videl. *hic adesse?* Hoc autem videtur pia virgo in terrorem tantum dixisse; quia ipsa sibi statuerat, nihil injusti agere. *Barnes.*

896. ἐπ' ἀκμῆς εἰμὶ] In articulo discriminis. Proverbiale loquendi genus. De qua re vid. Erasmi Adag. *In acie Novaculæ:* Græce ἐπὶ ξυροῦ ἀκμῆς. *Barnes.*

901. Χάριτας πονηρὰς] Χάριτας οὐκ ἄνευ ἀδικίας τῆς εἰς ἡμᾶς τῷ ἀδελφῷ χαριζομένας. *Barnes.*

Forte, πωλουμένη, *non vendens gratificationes improbas et injustas. Reisk.*

902. Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν· τὰ κτητὰ δὲ κτᾶσθαι κελεύει πάντας, οὐκ ἐξ ἁρπαγῆς.] Hæc sententia ita fere a Pindaro exprimitur, Pyth. Od. 8. antistroph. et epod. 1. Κέρδος δὲ φίλτατον γ', ἑκόντος εἴ τις ἐκ δόμων φέροι· Βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ. In quem locum vide Pindari interpretes et Johannem Benedictum hæc verba cum illo conferentem. Hunc locum egregium mehercule et omnium αἰσχροκερδῶν animis altius infligendum ex Hugonis Grotii versione lectori exhibebo; quia probe novi ego, quos plurimi iniquiter suo jure privaverint, cum tamen oppressi illi nemini unquam male dixerint, aut optarint, at injuste sibi consulentes votis et miseratione prosecuti sunt; adeo illis non magnopere invident, ut eorum potius vices serio doleant, qui malis artibus aliorum innocentiæ insidiantur, honori autem suo et commodo, etiam cum animarum periculo, velificantur. Audiant illi, si Græce sapiant, Euripidem, imo, ne satis forte attendant, Grotium quoque, ita illos monentem: At tu nequaquam injurio *morem gerens Fratri, priorem prode Pietatem tuam; Malam atque iniquam Gratiam sic aucupans. Namque odit ipse Vim Deus; neque Divites nos esse Rapto, sed probe partis, cupit. Spernenda, si non jure veniat, Copia est Communis æther hominibus, tellus quoque; In qua ampliare cuique sic fas est Domum, Ut ab alienis rebus ac vi temperet.* Cum vero nullibi licet de quopiam male loqui, aut nomine eum notare; fas tamen hic

Κτᾶσθαι κελεύει πάντας, οὐκ ἐς ἁρπαγάς.
Ἐατέος δ᾽ ὁ πλοῦτος, ἄδικος ὤς τις ὤν·
Κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς
Καὶ γαῖ᾽, ἐν ᾗ χρὴ δώματ᾽ ἀναπληρουμένους,
Τἀλλότρια μὴ ᾽χειν, μηδ᾽ ἀφαιρεῖσθαι βίᾳ.
Ἡμᾶς δὲ μακαρίως μὲν, ἀθλίως δ᾽ ἐμοὶ,
Ἑρμῆς ἔδωκε πατρὶ σῷ σώζειν πόσει
Τῷδ᾽, ὃς πάρεστι κἀπολάζυσθαι θέλει.
Πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς

Possidere jubet omnes, non per rapinas.
Omittendæ autem sunt divitiæ, injustæ existentes:
Commune enim est cœlum omnibus hominibus,
Et terra, in qua oportet implentes domos
Non habere aliena, neque auferre vi.
Me vero divino consilio, sed cum mea miseria,
Mercurius tradidit patri tuo, ut me servaret merito
Huic, qui adest et vult *me* recipere.
Quomodo igitur mortuus *me* recipiat? et quomodo ille

904. πλοῦτος, ἄδικός τις ὤν.

sit maxime, virum vere laudabilem honoris et gratitudinis causa nominare; qui et veri amans et æqui, ut doctrina nemini cedit, sic aperta et intrepida quadam φιλαληθείᾳ plurimis antecellit. Nomen certe Humphredi Gower, S. T. P. Collegii D. Johannis Cantabrigiæ præfecti, parum hinc laudis feret, huc afferet quamplurimum; quod et Euripidem et illius studiosos tam docto viro et integro placuisse literatus orbis aliquando audiverit. *Barnes.*

903. ἐς ἁρπαγάς.] Pro καθ᾽ ἁρπαγάς. Sic ἐς ταυτὸ νόμισμα, Iphig. in Taur. v. 1472. ἐς ἀμβολὰς, Heraclid. v. 271. hujus fab. 1296. *Musg.*

Reisk. conjicit: κτᾶσθαι κελεύει, βάντας (vel στάντας) ἐκ ἐς ἁρπαγὰς, aut κτᾶσθαι κελεύει ζῶντας ἐκ ἐξ ἁρπαγᾶς, aut κτᾶσθαι κελεύει, πλουτοῦντας ἐκ ἐξ ἁρπαγᾶς. *Beck.*

904. Ἐατέος δ᾽ ὁ πλοῦτος, ἄδικος ὤς τις ὤν·] *Vulgo deest* ὡς. *Por. Advers.*

δ᾽ ὁ] Ita MS. E. In Ed. Ald. deest δ᾽.

ἄδικος] Metro succurrendum puto legendo ἔκδικος, quod minus certe frigidum, quam Barnesii ἴστ᾽ ἄδικος. *Musg.*

Reisk. suspicatur: ἐατέος ὁ πλοῦτος ἀδίκους εἶναι θέλων, aut ἐατέος ὁ πλοῦτος, ὅ γ᾽ ἀδίκοις τίχναις γεγὼς, aut, si Euripides de divitiis locutus sit, Barnesianam lectionem probandam esse monet. *Beck.*

906. Reisk. scribit: ἀνακληρουμένους, *sorte tributa tenentes.* *Beck.*

912. θανοῦσ᾽,] Ed. Ald. θανοῦσιν. *Musg.*

913. Ἤδη] Ed. Ald. ἢ δή. Vir doctus in margine Aldinæ ᾗ δή. *Musg.*

Reisk. conjicit εἶ (pro ἴθι) δὴ, *i ergo.* *Beck.*

915. Legendum haud dubie cum Cantero:

βούλοιντ᾽ ἄν, ἢ οὐ βούλοιντ᾽ ἄν —

Quod dicit Barnesius, βούλοιντ᾽ ἂν τὰ τῶν πέλας significare posse *cupiant, expetant aliorum bona*, Græce doctis vix, nisi auctore citato, probasset. *Musg.*

Βούλοιντ᾽ ἄν, ἢ βούλοιντ᾽ ἂν ἀποδοῦναι πάλιν.] Frustra hic, ut mihi videtur, Canterus Novar. Lection. Lib. VI. c. 19. et post illum Scaliger legunt: Βούλοιντ᾽ ἄν, ἢ οὐ βούλοιντ᾽ ἂν ἀποδοῦναι πάλιν, saltem nulla necessitate ita legunt; nam ut concedam,

Τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ' ἄν;
Ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει,
Πότερον ὁ δαίμων χὠ θανὼν τὰ τῶν πέλας
Βούλοιντ' ἄν, ἢ οὐ βούλοιντ' ἂν ἀποδοῦναι πάλιν.
Δοκῶ μέν. οὔκουν χρή σε συγγόνῳ πλέον
Νέμειν ματαίῳ, μᾶλλον ἢ χρηστῷ πατρί.
Εἰ δ', οὖσα μάντις καὶ τὰ θεῖ' ἡγουμένη,
Τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
Τῷ δ' οὐ δικαίῳ συγγόνῳ δώσεις χάριν,

Vivam mortuo huic reddat?
Quamobrem jam Dei numen, et patris *tui religionem* considera,
Utrum Deus, et ille mortuus, ea, quæ sunt aliorum,
Velint, an non velint reddere:
Equidem arbitror *reddituros*. Haud igitur oportet te fratri *tuo* plus
Tribuere stulto, potius quam bono patri.
Si vero, vates existens, et *rerum* divinarum interpres,
Justitiam quidem patris corrumpas,
Huic vero non justo fratri *tuo* gratificaberis,

912. θανοῦσ' ἂν ἀποδοίη ποτέ. 915. ἢ βούλοιντ' ἄν. 920. δώσεις δίκην.

nihil istam lectionem carmini officere, (sæpe enim supra probavimus apud Græcos η ante ο elidi, præcipue Orest. v. 590.) hoc tamen contendo, posse τὸ βούλομαι per se accipi in priori loco, æque bene ac cum verbo in posteriori; hoc modo: σκόπει, πότερον ὁ Δαίμων χ' ὁ θανὼν βούλοιντ' ἂν τὰ τῶν πέλας, ἤγουν χρῄζοιεν, καὶ ἐπιθυμήσειαν αὐτῶν· ἢ βούλοιντ' ἂν αὐτὰ ἀποδοῦναι πάλιν. De hac vero et aliis τοῦ βούλομαι significationibus vid. Phavorin. Sed et Cantero sua laus non est deneganda: acute enim et sapienter hoc ipsum cum multis aliis nobis notavit, sed hoc, ut dixi, nulla omnino necessitate; cum βούλομαι simpliciter ac per se capi potest, æque bene ac cum verbo, vel accusativo; ut satis omnibus liquet. *Barnes.*

ἢ οὐ βούλοιντ' probavit Abresch. ad Æschyl. I. p. 92.

Reisk. reponit: ἢ οὐ βούλοιντ' αὖ ἀποδοῦναι. *Beck.*

916. s. πλέον Νέμειν] Sic ἧσσον νέμειν, Suppl. v. 389. πλέον νεῖμαι τῷ πονηρῷ, Plut. Op. Mor. p. 249. *Musg.*

916. s. οὔκουν χρή σε συγγόνῳ πλέον
Νέμειν ματαίῳ μᾶλλον ἢ χρηστῷ πατρί.

Recte Musgravius post ματαίῳ distinguit. Πλέον νέμειν enim pro uno verbo habendum est. Vide Markland. in Suppl. 389. Valcken. in Diatr. p. 77. C. Mox vulgatur:

Τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς
Τῷ δ' οὐ δικαίῳ συγγόνῳ δώσεις δίκην.

Hæc procul dubio in mendo cubant. Quid enim, quæso, δοῦναι δίκην hoc loco significare potest? Corrige sodes:

τὸν δ' οὐ δικαίου συγγόνῳ δώσεις τυχεῖν.

Patris tui justitiam flocci faciens fratrem injustæ lubidinis compotem facies. Vides quam facile τυχεῖν in δίκην permutari potuerit. *Jacobs.*

917. Confert Brodæus loca quædam Veterum, in quibus μᾶλλον cum adjectivo comparativi gradus conjungitur, ut μᾶλλον ἑτοιμότερον, μᾶλλον ὀλβιώτερον. Sed alia hujus loci ratio est. Distinguendum enim post ματαίῳ, unde πλέον et μᾶλλον eodem commate non comprehendentur. *Musg.*

918. ἡγουμένη,] *Gubernans, ordinans.*

Αἰσχρὸν, τὰ μέν σε θεῖα πάντ' ἐξειδέναι,
Τά τ' ὄντα καὶ μὴ, τὰ δὲ δίκαια μὴ εἰδέναι.
Τὴν δ' ἀθλίαν ἔμ', οἷσιν ἔγκειμαι κακοῖς,
Ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης·
Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·
Ἣ κλῄζομαι καθ' Ἑλλάδ' ὡς, προδοῦσ' ἐμὸν
Πόσιν, Φρυγῶν ᾤκησα πολυχρύσους δόμους.
Ἢν δ' Ἑλλάδ' ἔλθω κἀπιβῶ Σπάρτης πάλιν,
Κλύοντες, εἰσιδόντες, ὡς τέχναις θεῶν
Ὤλοντ', ἐγὼ δὲ προδότις οὐκ ἄρ' ἦν φίλων,
Πάλιν μ' ἀνάξουσ' ἐς τὸ σῶφρον αὖθις αὖ,
Ἐδνάσομαί τε θυγατέρ', ἣν οὐδεὶς γαμεῖ,

Turpe *fuerit*, te omnia quidem divina cognoscere,
Et ea, quæ sunt, et quæ non sunt, justa vero nescire.
Me vero miseram *ex* malis, in quibus versor,
Libera, hoc negotio accessionem dans;
Nullus enim mortalium *est*, qui non oderit Helenam;
Quæ in Græcia dicor prodens meum
Maritum habitâsse in opulentis sedibus Phrygum.
Quod si *in* Græciam venero, et redièro Spartam,
Audientes, *et* videntes, quod *ipsi* dearum dolis
Periêrint, ego vero non fuerim proditrix amicorum,
Referent me iterum in parem pudicitiæ laudem:
Et dotatam elocabo filiam, quam nullus *nunc* ducit:

923. Τήν τ' ἀθλ. 931. αὖθις ἄν.

Sic τὰς τύχας ἡγεύμενος, Suppl. v. 237. vide supra ad v. 870. *Musg.*

920. δούσης δίκην,] Optime Reiskius δούσης χάριν, ut et Tyrwhittus, confirmans ex Theonoës responso, v. 999.

— οὐδὲ συγγόνῳ χάριν
δοίην ἄν, ἐξ ἧς δυσκλεὴς φανήσομαι.

Pro vulgata facit δίκας τ' ἀδίκοισι δίδωσιν, Theogn. 45. *Musg.*

Leg. συγγόνῳ προδούσης δίκην, aut δούσης χάριν. *Reisk.*

922. δίκαια — εἰδέναι.] *Justitiam colere. Scire* enim Græcis non raro idem valet, quod *exercere*. Hom. Odyss. φ'. v. 26.

— μεγάλων ἐπιΐστορα ἔργων.

Soph. Electr. v. 610.

— τῶνδε τῶν ἔργων ἴδρις.

Idem Antigon. v. 307.

καὶ παντὸς ἔργου δυσσεβειαν εἰδέναι.

Simonides apud Plutarchum de Herodoti malign.

παντοίης ἀρετῆς ἴδριας ἐν πολέμῳ.

Musg.

τὰ δὲ δίκαια μὴ εἰδέναι.] Hic τὸ μὴ ante εἰδέναι eliditur, vel simul coalescit, ut sæpe ante observavimus, videl. ad Orest. v. 590. Phœniss. v. 1192. Hippolyt. v. 49. Andromach. v. 241. et 253. et 624. etc. *Barnes.*

Τὴν δ' ἐνθάδ' ἐκλιποῦσ' ἀλητείαν πικρὰν,
Ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
Κεὶ μὲν θανὼν ὅδ' ἐν πυρᾷ κατεσφάγη,
Πρόσω σφ' ἀπόντα δακρύοις ἂν ἠγάπων·
Νῦν δ' ὄντα καὶ σωθέντ' ἀφαιρεθήσομαι.
Μὴ δῆτα, παρθέν', ἀλλά σ' ἱκετεύω τόδε·
Δὸς τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους
Πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
Κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
Ἐς ταυτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.
ΘΕ. Οἰκτρὸν μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,
Οἰκτρὰ δὲ καὶ σύ. τοῦ δὲ Μενέλεω ποθῶ

Et relinquens hanc acerbam errationem hic,
Fruar opibus, quas domi habeo.
Et si quidem hic mortuus in pyra compositus fuisset,
Lacrymis prosequerer eum procul absentem;
Nunc vero spoliabor vivo, et salvo.
Ne igitur, O virgo, *facias;* sed hoc te supplex rogo,
Tribue mihi beneficium hoc, et imitare mores
Justi patris: hæc enim liberis *est* gloria
Pulcherrima, quicunque ex bono patre nati
Eosdem mores habent, quos parentes.
The. Digna quidem sunt commiseratione quæ jam dixisti:
Sed et tu quoque miserabilis. Desidero tamen Menelai

940. παιδὶ γάρ.

927. Φρυγῶν ὤκησα] Ita MS. E. Ed. Ald. Φρυγῶν τ' ᾤκησα. *Musg.*
Heath. legebat Φρυγῶν γ'—. *Beck.*
930. Etym. M. p. 430, 15. habet hinc ista: Ἐγὼ δὲ προδότης οὐκ ἤμην τέκνων, unde Pierson. ad Moer. p. 172. pro ἄρ' ἦν reponit ἤμην. *Beck.*
931. αὖθις ἂν,] Cantero placet αὖθις αὖ, quod ferri posset, nisi præcederet πάλιν. Nunc vide, annon melius sit: εἰς τὸ σῶφρον αὖθ' ἵσην.
αὖθις ἂν,] Canterus et Scaliger αὖ pro ἂν legunt. *Barnes.*
Reisk. et Heath. cum Cantero faciunt. *Beck.*
935. ἐν πυρᾷ] MS. E. εἰς πυράν. Sed εἰς πυρὰν σφάζεσθαι captivorum plerumque sors erat. Plato: ζωγρηθέντων σφαγὰς εἰς τὴν πυρὰν, p. 612. Ed. Ficin. De hoc autem Helena non videtur cogitasse. Non dubito, quin vere correxerit Reiskius:

— ἐν πυρᾷ κατεστάλη.

In rogo compositus fuisset. Musg.
Si κατεσφάγη retineatur, Reisk. legendum putat: καὶ μὴν εἰ ἔθανεν ὅδ', ἢ 'ν δορὶ κατεσφάγη, *atqui si aut placida morte, aut in bello obtruncatus periisset. Beck.*
936. Σφ' ἀπόντα] Σφὲ pro αὐτὸν, vide Iphig. Taur. v. 743. *Barnes.*
Reisk. conjicit: δακρύοισιν ἂν ἠγάπων, aut δακρύοις ἂν ἐνηγάπων. *Beck.*
939—942. Apud Stob. Grot. LXXXIX. p. 361. *Burn.*
940. Stob. loc. cit. πατρί. *Burn.*

Λόγους ἀκοῦσαι, τίνας ἐρεῖ ψυχῆς πέρι.
ΜΕ. Ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ,
Οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν,
Δειλοὶ γενόμενοι, πλεῖστον αἰσχύνοιμεν ἄν.
Καίτοι λέγουσιν, ὡς πρὸς ἀνδρὸς εὐγενοῦς,
Ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.
Ἀλλ' οὐχὶ τοῦτο τὸ καλὸν, εἰ καλὸν τόδε,
Αἱρήσομαι τοπρόσθε τῆς εὐψυχίας.

Sermonem audire, quem dicturus est de vita.
Men. Ego neque sustinebo procidere ad tua genua,
Neque lacrymis rigare palpebras: nam res ad Trojam gestas
Valde dedecorarem, si timidus essem.
Quanquam dicunt, quod sit generosi viri,
In adversis rebus lacrymas ab oculis emittere:
Sed nequaquam hoc honestum, *modo* hoc honestum sit,
Sequar, potius quam fortitudinem.

952. τῆς εὐδαιμονίας.

942. τοὺς τρόπους.] Malim τοῦ τρόπου. *Musg.*

Reisk. mavult: τοῖς τρόποις, i. e. ἐν τοῖς τρ. aut τοῦ τρόπου, aut τῶν τρόπων. *Beck.*

943. Οἰκτρὸν] Non male Æm. Portus οἰκτροί. *Musg.*

946. Reisk. suspicatur, legendum esse Οὔτ' αὖ, nam repeti τλαίην, quod positum censet aut pro τλαίη, ν illo superfluo, aut pro τλαίησαν, *neque rursus sustinent oculi mei plorare.* Nam βλέφαρα esse nominativum. *Beck.*

946. ss. Ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ,
οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν,
δειλοὶ γενόμενοι, πλεῖστον αἰσχύνοιμεν ἄν.
καί τοι λέγουσιν, ὡς πρὸς ἀνδρὸς εὐγενοῦς,
ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.
ἀλλ' οὐχὶ τοῦτο τὸ καλὸν, εἰ καλὸν τόδε,
αἱρήσομαι τοπρόσθε τῆς εὐδαιμονίας.

Vitium, quo ultimus horum versuum turpatur, non fugit Canteri perspicacitatem, qui Barnesio assentiente — τὸ πρόσθε τῆσδ' ἀδημονεῖν, reponendum suspicabatur: *coram Helena animo nolim concidere.* Verum de ἀδημονίᾳ hoc loco non agitur; id quod Menelaus se vitare velle dicit, ταπεινότης est, quam sibi, puto, nec praesente nec absente Helena exprobrari volet. Dicendi autem ratio, quod fugisse videtur Canterum, eadem est, quæ in nostri Rhadam. fr. II. εἰ δ' αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν Ζητοῦσι. et in Heraclid. v. 57. οὐ γάρ τις ἔστιν, ὃς πάροιθ' αἱρήσεται Τὴν σὴν ἀχρείαν δύναμιν ἀντ' Εὐρυσθέως. Multo itaque probabilior est Tyrwhitti emendatio

τοπρόσθε τῆς εὐψυχίας.

in qua nos hoc tantum moratur, quod a vulgatæ scripturæ ductibus paulo longius abest. Mihi semper scribendum videbatur, eodem sensu, minori mutatione:

τουπρόσθε τῆς εὐανδρίας.

Jacobs.

947. s. τὴν Τροίαν γὰρ ἂν, — πλεῖστον αἰσχύνοιμεν ἄν.] De duplici ἂν in una eademque clausula satis frequenter nos supra monuimus, vid. Hecub. v. 359. et v. 1182. Orest. v. 703. Alcest. v. 96. Heraclid. v. 180, etc. *Barnes.*

949. ὡς πρὸς ἀνδρὸς εὐγενοῦς,] Πρὸς ἀνδρός ἐστι. *viro convenit.* Aristophan. in Plut. v. 355. τοῦδ' ἂν δεδοικέναι

Ἀλλ' εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον,
Ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμὴν,
Ἀπόδος τε καὶ πρὸς σῶσον· εἰ δὲ μὴ δοκεῖ,
Ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις,
Ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανεῖ.
Ἃ δ' ἄξι' ἡμῶν καὶ δίκαι' ἡγούμεθα,
Καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,
Λέξω τόδ' ἀμφὶ μνῆμα σοῦ πατρὸς πόθῳ.

Sed siquidem tibi videtur virum peregrinum servare,
Et qui quærit juste recipere suam uxorem,
Redde, et insuper, serva *nos*: si vero non videtur,
Ego quidem non nunc primum, sed sæpius
Miser fuerim, tu vero videberis injusta mulier.
Quæ autem digna *sunt* nobis, et quæ justa ducimus,
Et *quæ* tuum cor maxime pungent,
Dicam ad monumentum hoc patris tui desiderio;

πρὸς ἀνδρὸς οὐδὲν ὑγιὲς ἐστ' εἰργασμένον.

Egerunt de hac virtute præpositionis πρὸς, qua *officium* indicat, Brunck. V. Ill. in Indice Sophocl. et Abresch. Animad. in Æsch. Lib. II. p. 319. *Jacobs*.

952. Αἰρήσομαι τὸ πρόσθε] Redundat τὸ, ut apud Arrianum ὑποστρέψας τὸ ἔμπαλιν, p. 7. Ed. Gronov. τὸ πρόσω ἐλθεῖν, p. 302.

In voce εὐδαιμονίας latet aliquid, quod Menelaus malle se profitetur, præ lacrymis et mollitie. Placet a Tyrwhitto monstratum εὐψυχίας, quod primo in εὐτυχίας transiisse putat, deinde illud in εὐδαιμονίας. *At honestum hoc, modo lacrymæ honesti aliquid habeant, non sectabor præ fortitudine. Musg.*

Αἰρήσομαι τὸ πρόσθε τῆς εὐδαιμονίας] Canterus legendum vult: τὸ πρόσθε τῆσδ' ἀδημονεῖν, *coram hac*, i. e. *Helena*, *animo concidere*, optime, si mihi credis; adeo ut vix mihi temperare possim, quin in textum hanc lectionem admittam. Scaliger paulo violentius legit: αἰρησόμεσθα, πρόσθε τῆς ἐν δαΐ μονῆς. Duportus: ἐνδημονεῖν, per oscitantiam, ut puto, cum ἀδημονεῖν in animo haberet. Ἐνδημεῖν enim quum exstet, ἐνδημονεῖν nullibi reperitur. *Barnes.*

Reisk. conjicit: αἰρήσομαι (scil. ἀντὶ) τῆς πρόσθεν εὐδαιμονίας, *nolim plorare, etiamsi omni mea pristina felicitate in præmium proposita.* metrum non esse curandum; si quem tamen hoc turbet, legere posse τῆς πρόσθ' ἐμαῖς εὐπραξίας.

εὐκαρδίας, aut εὐψυχίας, reponit Heath. *Beck.*

954. Leg. ζητοῦντά μ' ὀρθῶς, aut alias pro ἐμὴν leg. erit ἐμήν. *Reisk.*

956. Vid. Med. 447. *Burn.*

960. Λέξω, τόδ'.] Legendum cum Tyrwhitto:

λέξω, τόδ' ἀμφὶ μνῆμα, τοῦ πατρὸς πόθῳ. *Musg.*

Pro πόθῳ Heath. mavult πιτνῶν, Reisk. σποδῷ, *dicam hoc ad patris tui cineres, apud sepulcrum ejus.*

πόθῳ.] Jacobs Spec. Em. p. 13. hæc adscripsit: Hæc Menelai ad Theonoam, Protei filiam verba, quibus minitatur, se a patre ejus Helenam petituram esse, in ultima voce corrupta sunt. Scaliger pro πόθῳ scribi volebat πότι; quod si vel sensui satisfaceret, nunquam tamen ab Euripidis manu proficisci potuisset. Equidem valde suspicor tragicum dedisse:

Λέξω τάδ', ἀμφὶ μνῆμα, σοῦ πατρὸς σποδῷ."

Litteram initialem σ periisse facile censet ob præcedens πατρός. *Beck.*

Λέξω τόδ' α. μν.] Ἀθανασίαν ψυχῆς δοξάζει ὁ Εὐριπίδης. *Scholiast.*

Ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάϊνον τάφον,
Ἀπόδος, ἀπαιτῶ τὴν ἐμὴν δάμαρτά σε,
Ἣν Ζεὺς ἔπεμψε δεῦρό σοι, σώζειν ἐμοί.
Οἶδ', οὕνεχ' ἡμῖν οὔ ποτ' ἀποδώσεις θανών·
Ἀλλ' ἥδε πατέρα νέρθεν ἀνακαλούμενον
Οὐκ ἀξιώσει τὸν πρὶν εὐκλεέστατον
Κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.
Ὦ νέρτερ' Ἅιδη, καὶ σὲ σύμμαχον καλῶ,
Ὃς πόλλ' ἐδέξω τῆσδ' ἕκατι σώματα,
Πεσόντα τῷ 'μῷ φασγάνῳ, μισθὸν δ' ἔχεις·
Ἢ νῦν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν,
Ἢ τήνδ' ἀνάγκασόν ποτ', εὐσεβοῦς πατρὸς
Κρείσσω φανεῖσαν, τἀμά γ' ἀποδοῦναι λέχη.
Εἰ δέ με γυναῖκα τὴν ἐμὴν συλήσετε,
Ἃ σοι παρέλιπεν ἥδε τῶν λόγων, φράσω.
Ὅρκοις κεκλήμεθ', ὡς μάθῃς, ὦ παρθένε,

O senex, qui habitas hoc lapideum sepulchrum,
Rogo te, ut mihi meam uxorem reddas,
Quam Jupiter huc misit tibi, ut mihi servares.
Scio quod nobis nunquam reddes *hanc* mortuus:
Sed hæc patrem sub terra invocatum,
Qui antea fuit gloriosissimus, non sinet
Male audire: nam ipsa nunc habet hanc rem in potestate *sua*.
O inferne Pluto, etiam te adjutorem invoco,
Qui multa corpora propter hanc accepisti,
Quæ ciciderunt meo gladio, et habes mercedem:
Aut nunc illos redde vivos,
Aut coge tandem hanc, patre pio
Præstantiorem, *mihi* meam uxorem reddere.
Quod si me mea conjuge spoliaveritis,
Quas hæc præteriit rationes, *eas* tibi dicam.
Jurejurando tenemur obstricti, ut scias, virgo,

964. ἀποδώσεις] Ita MSS. Steph. Ed. Ald. ἀπολέσεις. *Musg.*

972. ἀνάγκασόν ποτ',] Barnesii emendatio est. Ed. Ald. ἀνάγκασόν γ'. *Musg.* Reisk. loco ποτ' suppleri potius vult τῷ, aut μοι. *Beck.*

973. τἀμά γ'] Ed. Ald. τἀμ'. *Musg.*

975. τῶν λόγων,] MS. E. τῷ λόγῳ. *Musg.*

979. μὴ πόδ'] Sic Edd. recent. auctore Brodæo. Ed. Ald. μή ποτ'. *Musg.*

980. θηρῶ] Ita Edd. recent. nec variat MS. E. Ed. Ald. θηρῶν. *Musg.*

982. Πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε,]

Πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῷ συγγόνῳ·
Κἀκεῖνον, ἢ 'μὲ, δεῖ θανεῖν· ἁπλοῦς λόγος.
Ἢν δ' ἐς μὲν ἀλκὴν μὴ πόδ' ἀντιθῇ ποδὶ,
Λιμῷ δὲ θηρᾷ τύμβον ἱκετεύοντε νὼ,
Κτανεῖν δέδοκται τήνδ' ἐμοὶ, κἄπειτ' ἐμὸν
Πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε,
Τύμβου 'πὶ νώτοις τοῦδ', ἵν' αἵματος ῥοαὶ
Τάφου καταστάζωσι· κεισόμεσθα δὲ
Νεκρὼ δύ' ἑξῆς τῷδ' ἐπὶ ξεστῷ τάφῳ,
Ἀθάνατον ἄλγος σοὶ, ψόγος δὲ σῷ πατρί.
Οὐ γὰρ γαμεῖ τήνδ' οὔτε σύγγονος σέθεν,
Οὔτ' ἄλλος οὐδείς· ἀλλ' ἐγώ σφ' ἀπάξομαι,
Εἰ μὴ πρὸς οἴκους δυνάμεθ', ἀλλὰ πρὸς νεκρούς.
Τί ταῦτα; δακρύοις ἐς τὸ θῆλυ τρεπόμενος,
Ἐλεεινὸς ἦν ἂν μᾶλλον, ἢ δραστήριος.
Κτεῖν', εἰ δοκεῖ σοι· δυσκλεῶς γὰρ οὐ κτενεῖς.

Primum quidem dimicare cum tuo fratre;
Et illum, vel me, oportet mori. Simplex oratio *est.*
Si vero in pugna pedem pedi non opponat,
Fame vero nos *ad* tumulum supplices expugnare conetur,
Decrevi hanc interficere, et deinde meum
Ad hepar adigere gladium hunc ancipitem,
Hujus sepulchri supra dorsum, ut sanguinis fluxus
Destillent in sepulchrum: jacebimus autem
Mortui ambo ordine supra hoc politum sepulcrum,
Perpetuus dolor tibi, et probrum patri tuo.
Non enim ducet hanc neque frater tuus,
Nec alius quisquam: sed ego abducam eam,
Si non possum domum, saltem ad mortuos.
Quid ista *dico?* Si ad fœmineam *mollitiem* lacrymis me converterem,
Miserandus essem potius, quam strenuus.
Interfice, si videtur tibi: non enim inglorium *me* interficies.

Nonnulli *δίστομος* a *δὶς* et *τέμνω* deducunt, non forsitan inepte, sed tunc *διστόμος* scribendum, ut *διχοτόμος*, *bifariam secans;* sed quum hoc non fiat, et etiam *ὀξύστομος* de gladio dicitur, apparet, a themate *στόμα* etiam et hoc oriri. *Στόμα* autem *κατ' ἀναλογίαν τινὰ* et figurate de gladio dicitur ab optimis auctoribus Græcis, ut et פה apud Hebræos analogice pro *acie* ferri, quæ modo quodam est illius *os*, quod mordet et sanguinem haurit. Homerus Iliad. *κ'.* v. 8. — *πολέμοιο μέγα στόμα πευκεδανοῖο.* Quin Euripides Supplic. v. 1216. Ὀξύστομον *μάχαιραν ἐς γαίας μυ-*

Μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
Ἵν' ᾖς δικαία, καὶ δάμαρτ' ἐγὼ λάβω.
ΧΟ. Ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους.
Οὕτω δὲ κρῖνον, ὡς ἅπασιν ἁνδάνῃς.
ΘΕ. Ἐγὼ πέφυκά τ' εὐσεβεῖν καὶ βούλομαι·
Φιλῶ τ' ἐμαυτὴν, καὶ κλέος τοὐμοῦ πατρὸς
Οὐκ ἂν μιάναιμ', οὐδὲ συγγόνῳ χάριν
Δοίην ἂν, ἐξ ἧς δυσκλεὴς φανήσομαι.
Ἔνεστι δ' ἱερὸν τῆς δίκης ἐμοὶ μέγα
Ἐν τῇ φύσει· καὶ τοῦτο Νηρέως πάρα

Potius vero obtempera meis verbis
Ut sis justa, et ego accipiam *meam* conjugem.
Cho. In te *est*, O puella, judicare litem.
Sic autem judica, ut omnibus placeas.
The. Ego sic sum a natura instituta, ut amem pietatem, idque volo:
Amoque me ipsam, et gloriam mei patris
Non polluam, neque fratri gratiam
Tribuam, ex qua possim infamis videri.
Magnum enim sacellum justitiæ mihi inest
In natura: et hoc a Nereo

χοὺς Κρύψον παρ' αὐτὰς ἑπτὰ πορπαῖς νεκρῶν. Utrumque Testamentum hac forma utitur, ut Judic. c. xviii. v. 27. *Καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας.* Ibid. c. xx. v. 37. et 48. et c. xxi. v. 10. et 1 Sam. c. xxii. v. 19. et 2 Sam. c. xv. v. 14. Item D. Lucæ c. xxi. v. 24. *Καὶ πεσοῦνται στόματι μαχαίρας,* &c. *Barnes.*

988. *σφ' ἀπάξομαι,*] Hic iterum *σφὶ* vides pro *αὐτὸν* in singulari, ut supra v. 936. *Barnes.*

991. *ἦν ἂν*] Ita MS. E. ut legendum monuerat Canterus. In Ed. Ald. deest *ἄν.* *Musg.*

Ἐλεεινὸς εἴην μᾶλλον,] Quum olim *ἦν* legebatur, syllaba deficiente, Canterus putabat, *ἂν* deesse post *ἦν*, Scaligerum autem hic sequi malo, qui *εἴην* legit pro *ἦν*. Alii *ἦν γε* substituunt. *Barnes.*

992. *δυσκλεῶς*] Barnesius in margine *δυσκλεᾶ.* *Musg.*

Pro *εὐ* Reisk. scribit *εὖν.* *Beck.*

1001. s. *ἱερὸν — Ἐν τῇ φύσει.*] Plutarchus de Amore fraterno: *ἐν τῷ πάσχοντι τὴν φύσιν, ὡς ἁγιώτατον καὶ μέγιστον ἱερὸν, λαβόντος.* Statius Lib. III. v. 247. *mentis sacraria nostræ Testor.* Confer et Demosthen. contra Aristogiton. p. 477. Ed. Taylor.

Synes.: *μὴ μολύνῃ τὸν ἁγιώτατον νεὼν, τὸν νοῦν σοῦ τὸν ἱερόν.* Ep. 151. *Musg.*

Ἔνεστι δ' ἱερὸν τῆς Δίκης ἐμοὶ μέγα Ἐν τῇ φύσει·] Magnum enim *mihi templum Justitiæ in natura* mea erigitur. Divinus hic noster poëta nunc iterum divinioribus nostris literis aliquid commune loquitur; ita enim D. Apostolus, 1 Corinth. c. vi. v. 19. *Ἢ οὐκ οἴδατε, ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν;* *Barnes.*

Ἔνεστι δ' ἱερὸν τῆς Δίκης ἐμοὶ μέγα
Ἐν τῇ φύσει.

Hanc sententiam sæpius sibi in scena auditam Demosthenes in usum suum transtulit. c. Aristog. I. p. 487. *Καὶ Δίκης γε — καὶ Αἰδοῦς εἰσιν ἅπασιν ἀνθρώποις βωμοὶ, οἱ μὲν κάλλιστοι καὶ ἁγιώτατοι ἐν αὐτῇ τῇ ψυχῇ ἑκάστου καὶ τῇ φύσει.* *Jacobs.*

1002. s. *καὶ τοῦτο Νηρέως πάρα Ἔχουσα,*]

Ἔχουσα, σώζειν Μενέλεων πειράσομαι.
Ἥρα δ' ἐπείπερ βούλεταί σ' εὐεργετεῖν,
Ἐς ταὐτὸν οἴσω ψῆφον· ἡ Κύπρις δέ μοι
Ἵλεως μὲν εἴη, συμβέβηκε δ' οὐδαμοῦ·
Πειράσομαι δὲ παρθένος μένειν ἀεί.
Ἃ δ' ἀμφὶ τύμβῳ τῷδ' ὀνειδίζεις πατρὶ,
Ἡμῖν ὅδ' αὑτὸς μῦθος· ἀδικοίημεν ἂν,
Εἰ μὴ 'ποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων
Ἀπέδωκεν ἂν σοὶ τήνδ' ἔχειν, ταύτῃ δὲ σέ.
Καὶ γὰρ τίσις τῶνδ' ἐστὶ τοῖς τε νερτέροις,

Habens, conabor Menelaum servare.
Quando autem Juno vult tibi benefacere,
Eodem calculum feram, Venus vero mihi
Propitia quidem sit: nusquam tamen ullum commercium illa mecum habuit:
Conabor enim semper manere virgo.
Quæ vero ad hoc sepulchrum exprobrâsti patri *meo*,
Idem et ipsa dico: *nam* injuste facerem,
Si non redderem. Ille enim vivens
Reddidisset tibi hanc, ut haberes, et huic te:
Vindicta enim est horum et apud mortuos,

1009. αὐτὸς 1011. τήν γ'

De Nerei veracitate vid. supra ad v. 15. *Barnes.*

1004. Ἥρα δ'] Barnesius in margine Ἥρᾳ. *Musg.*

1005. ἡ Κύπρις] Ita verissime Canterus. Ed. Ald. ἡ Χάρις, quod Venerem significare posse contendit, sed frustra, Barnesius. Lucianus Dialog. Deorum: Ἥφαιστον — τὰς καλλίστας γεγαμηκέναι, τήν τε Ἀφροδίτην καὶ τὴν Χάριν. *Musg.*

ἡ χάρις δ' ἐμοὶ] Canterus putat, Κύπρις legendum; quanquam et ipse fateatur, χαρίζεσθαι ad res Venereas referri, et ἄχαρις pro ἀναφρόδιτος a Sapphone de puella illepida dici. Vid. Canter. Novar. Lection. Lib. VI. c. 19. Scaliger legit: ἡ χωρίς γ' ἐμοῦ (Ἵλεως μὲν εἴη) συμβέβηκε δ' οὐδαμοῦ. Nequaquam illepide, neque parum acute, in hunc nempe sensum: *Quoniam Juno tibi vult benefacere, ego eodem cum illa calculum feram; quæ quidem Juno (Propitia sit mihi magna loquenti, quum sint vera) absque meo suffragio, nihil omnino efficiet.* Et ego sane hanc Scaligeri sententiam forsan lubens amplecterer, nisi refragaretur verbum συμβέβηκε, quod in hunc sensum commode torqueri nequit, et versus proxime sequens de venere jam illam loqui probat. Miror autem, ingeniosum hominem, Canterum, loco prædicto dubitare, an (Χάρις pro Κύπρις) ea dicendi figura possit hoc loco tolerari, cum omnino hoc in loco ita dicendum convenit κατ' εὐφημισμὸν, neque novum est, *Venerem*, Gratiarum reginam et matrem, emphatice Χάριτα et Gratiam dici: Coluthus enim illam χαρίτων βασίλειαν vocat. Quod moneo tantum, ne quis, magni illius viri metum metuens, de hujus vocis auctoritate dubitet. *Barnes.*

1006. συμβεβήκοι] In Opt. legit Reisk. *nunquam contingat mihi rem cum Venere ullam communem esse. Beck.*

1009. s. Reisk. et Heath. reponunt:

Καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις. ὁ νοῦς
Τῶν κατθανόντων ζῇ μὲν οὔ, γνώμην δ' ἔχει
Ἀθάνατον, εἰς ἀθάνατον αἰθέρ' ἐμπεσών.
Ὡς οὖν περαίνω μὴ μακρὰν, σιγήσομαι,
Ἅ μου καθικετεύσατ', οὐδὲ μωρίᾳ
Ξύμβουλος ἔσομαι τοῦ κασιγνήτου ποτέ.
Εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦσ' ὅμως,
Ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
Αὐτοὶ μὲν οὖν τὴν ἔξοδόν γ' εὑρίσκετε,
Ἐγὼ δ' ἀποστᾶσ' ἐκποδὼν, σιγήσομαι.

Et vivos homines omnes: mens *enim*
Defunctorum non vivit quidem: sensum tamen habet
Immortalem, incidens in immortalem ætherem.
Ut igitur rem pertexam non prolixe, tacebo
Quæ me suppliciter rogastis: neque stultitiæ
Fratris unquam consentiens adjutrix ero.
Afficiam enim eum beneficio, tametsi non videar,
Ex impietate si pium ipsum faciam.
Vos igitur invenite *vestrarum difficultatum* exitum:
Ego vero e medio recedens, tacebo.

1020. τίθημι νῦν.

Ἀδικοίην μὲν ἂν (vel γὰρ Reisk.) εἰ μὴ 'ποδώσω (Reisk. εἰ μὴ ἀποδοίην). Cf. Dawes. Misc. Crit. p. 246. *Beck.*

1011. τήν γ'] Malim τήνδ'. *Musg.* Etiam Reisk. τήνδ' et pro δὲ legit τι. *Beck.*

1013—1015. Vid. Valck. Diatr. 57. *Burn.*

